Θ΄ Δεκεμβρίου ἡ σύλληψις τῆς Ἁγίας Ἄννης

## ΑΠΟΛΥΤΙΚΙΟΝ Ἦχος δ΄ Δι

Σήμερον τῆς ἀτεκνίας δεσμὰ διαλύονται· τοῦ Ἰωακεὶμ γὰρ καὶ τῆς Ἄννης εἰσακούων Θεός, παρ' ἐλπίδα τεκεῖν αὐτοὺς σαφῶς, ὑπισχνεῖται Θεόπαιδα, ἐξ ἧς αὐτὸς ἐτέχθη ὁ ἀπερίγραπτος, βροτὸς γεγονώς, δι' Ἀγγέλου κελεύσας βοῆσαι αὐτῇ: Χαῖρε Κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ.

## ΚΟΝΤΑΚΙΟΝ Πα

Ἑορτάζει σήμερον, ἡ οἰκουμένη, τὴν τῆς Ἄννης σύλληψιν, γεγενημένην ἐν Θεῷ, καὶ γὰρ αὐτὴ ἀπεκύησε, τὴν ὑπὲρ λόγον, τὸν Λόγον κυήσασαν. Πα

## ΣΤΙΧΗΡΑ ΠΡΟΣΟΜΟΙΑ Ἦχος β΄ Πα

Ἀπόθεσθε Ἀδάμ, καὶ Εὔα πᾶσαν λύπην· ἡ μήτηρ τῆς χαρᾶς γάρ, ἐν στείρα, παραδόξως, καρπογονεῖται σήμερον. Πα

παρά δο ο ο ξως

Στίχος Ὤμοσε Κύριος τῷ Δαυῒδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσει αὐτήν. Πα

Χορὸς τῶν Προφητῶν, ἀγγάλλεσθε: ἰδοὺ γάρ, Ἄννα καρπὸν ἐκφύει, δι' οὗ αἱ προφητεῖαι, ὑμῶν περαιωθήσονται. Πα

1951
Ν.Τ.Β.